p. 448a. *τί δὲ, ὦ Πῶλε.* **12**

τί οὖν, ὦ Πῶλε, φησὶν ὁ Χαιρεφῶν, κάλλιον τοῦ διδασκάλου ἀποκρίνῃ. ὁ δὲ Πῶλος οὔτε ναί φησιν, ὕβριζεν γὰρ αὐτόν, οὔτε δὲ οὔ, τὸ φιλότιμον μὴ θέλων καθελεῖν, ἀλλὰ μέσην ἀπόκρισιν δίδωσιν· λέγει γάρ, ὅτι εἴτε κρεῖττον εἴτε χεῖρον ἀποκρίνομαι, τί ζητεῖς, εἰ μὴ ἵνα ἀρκέσω σοὶ καὶ πρὸς πάντα τὰ λεγόμενα ἀπαντήσω.

p. 448b. *εἰ ἐτύγχανε Γοργίας ἐπιστήμων ὢν τῆς τέχνης, ἧσπερ ὁ ἀδελφὸς αὐτοῦ Ἡρόδικος.*

ἄρχεται ἐρωτᾶν· ἰστέον δέ, ὅτι δύο Ἡροδίκους οἶδεν ὁ Πλάτων, ἕνα τὸν ἀδελφὸν Γοργίου τὸν Λεοντῖνον καὶ ἄλλον Ἡρόδικον τὸν Σηλυμβριανόν· μὴ οὖν εὑρίσκοντες ἐν τοῖς διαλόγοις νομίσητε ἕνα εἶναι καὶ ταραχθῆτε. ἐνταῦθα τοίνυν περὶ τοῦ Λεοντίνου φησίν· λέγει οὖν, ὅτι εἰ ἐπιστήμων ἦν ὁ Γοργίας τῆς τέχνης τοῦ Ἡροδίκου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅ ἐστι τῆς ἰατρικῆς, ἰατρὸς γὰρ ἦν, τί ἂν αὐτὸν ὠνομάζομεν; ἆρα οὐχ ὅπερ ἦν ἐκεῖνος, ἀντὶ τοῦ ἰατρόν, φησὶν ὁ Πῶλος, ὅτι πάνυ γε· ἰατρὸν οὖν αὐτὸν φάσκοντες, φησὶν ὁ Χαιρεφῶν, καλῶς ἂν ἐλέγομεν· φησὶν ὁ Πῶλος· ναί· πάλιν φησὶν ὁ Χαιρεφῶν, ὅτι εἰ δὲ ἧς τέχνης ὁ παῖς Ἀγλαοφῶντος Ἀριστοφῶν λέγω ἢ ὁ ἀδελφὸς αὐτοῦ ὁ Πολύγνωτος, φημὶ ἔμπειρος ἦν· ὁ Πολύγνωτος γὰρ ἦν ὁ ἀδελφὸς αὐτοῦ, ὡς τὸ ἐπίγραμμα δηλοῖ· ὅπου οὖν εὕρῃς τὸν ἀδελφὸν τοῦ Ἀριστοφῶντος, τὸν Πολύγνωτον νόει· οὐκ ἂν ζῳγράφον αὐτὸν ἐκαλέσαμεν; φησὶν ὁ Πῶλος, ὅτι δῆλον, ὅτι ζῳγράφον· νῦν οὖν ἐπειδὴ τέχνης τινὸς ὁ Γοργίας ἐπιστήμων ἐστί, τίνα ἂν καλοῦντες αὐτὸν ὀρθῶς καλέσοιμεν. ἰστέον δέ, ὅτι ἁρμοδίως παρέλαβεν τὰ δύο ταῦτα παραδείγματα, τὸ τῆς ἰατρικῆς καὶ τὸ τῆς γραφικῆς, ἐπειδὴ διττὴ ἡ ῥητορική, ἵνα τὴν μὲν ἀληθῆ ῥητορικὴν ἀπεικάσῃ τῇ ἰατρικῇ, τὴν δὲ ψευδῆ καὶ συώδη τῇ γραφικῇ. **13**

---

10 cf. schol. in Plat. p. 298

---

23 mg. τὸ ἐπίγραμμα·

γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
υἱὸς περθομένην Ἰλίου ἀκρόπολιν (Simon. fr. 218 Anth. Pal. IX 700)